**ΑΠΟΛΥΤΗΡΙΕΣ ΕΞΕΤΑΣΕΙΣ Γ΄ ΤΑΞΗΣ**
**ΗΜΕΡΗΣΙΟΥ ΓΕΝΙΚΟΥ ΛΥΚΕΙΟΥ**
**ΠΕΜΠΤΗ 29 ΜΑΪΟΥ 2008**
**ΕΞΕΤΑΖΟΜΕΝΟ ΜΑΘΗΜΑ:**
**ΑΡΧΑΙΑ ΕΛΛΗΝΙΚΑ ΘΕΩΡΗΤΙΚΗΣ ΚΑΤΕΥΘΥΝΣΗΣ**
**ΣΥΝΟΛΟ ΣΕΛΙΔΩΝ: ΤΕΣΣΕΡΙΣ (4)**

## Διδαγμένο κείμενο
## Ἀριστοτέλους, *Ἠθικὰ Νικομάχεια* Β6, 4-10

Ἐν παντὶ δὴ συνεχεῖ καὶ διαιρετῷ ἔστι λαβεῖν τὸ μὲν πλεῖον τὸ δ' ἔλαττον τὸ δ' ἴσον, καὶ ταῦτα ἢ κατ' αὐτὸ τὸ πρᾶγμα ἢ πρὸς ἡμᾶς... Λέγω δὲ τοῦ μὲν πράγματος μέσον τὸ ἴσον ἀπέχον ἀφ' ἑκατέρου τῶν ἄκρων, ὅπερ ἐστὶν ἓν καὶ τὸ αὐτὸ πᾶσιν, πρὸς ἡμᾶς δὲ ὃ μήτε πλεονάζει μήτε ἐλλείπει· τοῦτο δ' οὐχ ἕν, οὐδὲ ταὐτὸν πᾶσιν. Οἷον εἰ τὰ δέκα πολλὰ τὰ δὲ δύο ὀλίγα, τὰ ἓξ μέσα λαμβάνουσι κατὰ τὸ πρᾶγμα· ἴσῳ γὰρ ὑπερέχει τε καὶ ὑπερέχεται· τοῦτο δὲ μέσον ἐστὶ κατὰ τὴν ἀριθμητικὴν ἀναλογίαν. Τὸ δὲ πρὸς ἡμᾶς οὐχ οὕτω ληπτέον· οὐ γὰρ εἴ τῳ δέκα μναῖ φαγεῖν πολὺ δύο δὲ ὀλίγον, ὁ ἀλείπτης ἓξ μνᾶς προστάξει· ἔστι γὰρ ἴσως καὶ τοῦτο πολὺ τῷ ληψομένῳ ἢ ὀλίγον· Μίλωνι μὲν γὰρ ὀλίγον, τῷ δὲ ἀρχομένῳ τῶν γυμνασίων πολύ. Ὁμοίως ἐπὶ δρόμου καὶ πάλης. Οὕτω δὴ πᾶς ἐπιστήμων τὴν ὑπερβολὴν μὲν καὶ τὴν ἔλλειψιν φεύγει, τὸ δὲ μέσον ζητεῖ καὶ τοῦθ' αἱρεῖται, μέσον δὲ οὐ τὸ τοῦ πράγματος ἀλλὰ τὸ πρὸς ἡμᾶς.

Εἰ δὴ πᾶσα ἐπιστήμη οὕτω τὸ ἔργον εὖ ἐπιτελεῖ, πρὸς τὸ μέσον βλέπουσα καὶ εἰς τοῦτο ἄγουσα τὰ ἔργα (ὅθεν εἰώθασιν ἐπιλέγειν τοῖς εὖ ἔχουσιν ἔργοις ὅτι οὔτ' ἀφελεῖν ἔστιν οὔτε προσθεῖναι, ὡς τῆς μὲν ὑπερβολῆς καὶ τῆς ἐλλείψεως φθειρούσης τὸ εὖ, τῆς δὲ μεσότητος σῳζούσης, οἱ δ' ἀγαθοὶ τεχνῖται, ὡς λέγομεν, πρὸς τοῦτο βλέποντες ἐργάζονται), ἡ δ' ἀρετὴ πάσης τέχνης ἀκριβεστέρα καὶ ἀμείνων ἐστὶν ὥσπερ καὶ ἡ φύσις, τοῦ μέσου ἂν εἴη στοχαστική. Λέγω δὲ τὴν ἠθικήν· αὕτη γάρ ἐστι περὶ πάθη καὶ πράξεις, ἐν δὲ τούτοις ἔστιν ὑπερβολὴ καὶ ἔλλειψις καὶ τὸ μέσον.

**Α.** Από το κείμενο που σας δίνεται να γράψετε στο τετράδιό σας τη μετάφραση του αποσπάσματος: **«Οὕτω δὴ πᾶς ἐπιστήμων… ὑπερβολὴ καὶ ἔλλειψις καὶ τὸ μέσον».**

***Μονάδες 10***

**Β.** *Να απαντήσετε στα παρακάτω*:

**Β1.** Πώς προσδιορίζεται στο κείμενο που σας δόθηκε η έννοια της *μεσότητας* για τα πράγματα και για τον άνθρωπο; Να τεκμηριώσετε την απάντησή σας και με αναφορές σε συγκεκριμένα χωρία.

***Μονάδες 15***

**Β2.** Πώς συσχετίζονται από τον Αριστοτέλη οι έννοιες: *ἐπιστήμη* (*τέχνη*)-*ἀρετή*-*φύσις*;

***Μονάδες 15***

**Β3.** Σε ποια μέρη διέκρινε ο Αριστοτέλης την ψυχή;

***Μονάδες 10***

**Β4.** Να γράψετε δύο ομόρριζες λέξεις της αρχαίας ή της νέας ελληνικής γλώσσας, απλές ή σύνθετες, για καθεμιά από τις παρακάτω λέξεις του κειμένου: **ἀναλογία, ληπτέον, αἱρεῖται, ἄγουσα, προσθεῖναι.**

***Μονάδες 10***

## Αδίδακτο κείμενο
## Λυσίου, *Κατὰ Ἀλκιβιάδου* Α 144, 46-47

Ἐγὼ μὲν οὖν ὡς ἐδυνάμην ἄριστα κατηγόρηκα, ἐπίσταμαι δ’ ὅτι οἱ μὲν ἄλλοι τῶν ἀκροωμένων θαυμάζουσιν, ὅπως ποθ’ οὕτως ἀκριβῶς ἐδυνήθην ἐξευρεῖν τὰ τούτων ἁμαρτήματα, οὗτος δέ μου καταγελᾷ, ὅτι οὐδὲ πολλοστὸν μέρος εἴρηκα τῶν τούτοις ὑπαρχόντων κακῶν. Ὑμεῖς οὖν καὶ τὰ εἰρημένα καὶ τὰ παραλελειμμένα ἀναλογισάμενοι πολὺ μᾶλλον αὐτοῦ καταψηφίσασθε, ἐνθυμηθέντες ὅτι ἔνοχος μέν ἐστι τῇ γραφῇ, μεγάλη δ’ εὐτυχία τὸ τοιούτων

πολιτῶν ἀπαλλαγῆναι τῇ πόλει. Ἀνάγνωθι δ’ αὐτοῖς τοὺς νόμους καὶ τοὺς ὅρκους καὶ τὴν γραφήν.

-----------

οὐδὲ πολλοστόν: ούτε το ελάχιστο

**Γ.** Να γράψετε στο τετράδιό σας τη μετάφραση του κειμένου.

***Μονάδες 20***

**Γ1.α.** Να γράψετε τους ζητούμενους τύπους για καθεμιά από τις παρακάτω λέξεις του κειμένου:

| | | |
|---|---|---|
| **καταγελᾷ** | : | το τρίτο πληθυντικό πρόσωπο ευκτικής του ίδιου χρόνου στην ίδια φωνή. |
| **εἴρηκα** | : | το δεύτερο πληθυντικό πρόσωπο οριστικής αορίστου β΄ στην ίδια φωνή. |
| **ἐξευρεῖν** | : | το απαρέμφατο ενεστώτα στην ίδια φωνή. |
| **καταψηφίσασθε** | : | το τρίτο πληθυντικό πρόσωπο οριστικής μέλλοντα στην ίδια φωνή. |
| **παραλελειμμένα** | : | το τρίτο ενικό πρόσωπο οριστικής του ίδιου χρόνου στην ίδια φωνή. |

***Μονάδες 5***

**Γ1.β.** Να γράψετε τους ζητούμενους τύπους για καθεμιά από τις παρακάτω λέξεις του κειμένου:

| | | |
|---|---|---|
| **τούτων** | : | τη δοτική πληθυντικού του θηλυκού γένους. |
| **ἁμαρτήματα** | : | τη δοτική πληθυντικού. |
| **μᾶλλον** | : | τον θετικό βαθμό. |
| **μεγάλη** | : | την αιτιατική πληθυντικού του υπερθετικού βαθμού στο ίδιο γένος. |
| **πόλει** | : | την κλητική ενικού. |

***Μονάδες 5***

**Γ2.α.** Να γίνει πλήρης συντακτική αναγνώριση των παρακάτω λέξεων:

**τῶν ἀκροωμένων, ἐξευρεῖν, τούτων, αὐτοῦ, ἐνθυμηθέντες, τοιούτων.**

***Μονάδες 6***

**Γ2.β. ἐδυνήθην, εἴρηκα:** Να γράψετε τις προτάσεις στις οποίες ανήκουν τα παραπάνω ρήματα και να τις αναγνωρίσετε πλήρως συντακτικά (είδος, εισαγωγή, εκφορά, λειτουργία).

***Μονάδες 4***

## ΟΔΗΓΙΕΣ (*για τους εξεταζόμενους*)

1. Στο τετράδιο να γράψετε μόνο τα προκαταρκτικά (ημερομηνία, εξεταζόμενο μάθημα, κατεύθυνση). **Να μην αντιγράψετε** τα θέματα στο τετράδιο.
2. Να γράψετε το ονοματεπώνυμό σας στο πάνω μέρος των φωτοαντιγράφων αμέσως μόλις σας παραδοθούν. **Δεν επιτρέπεται να γράψετε** καμιά άλλη σημείωση**.** Κατά την αποχώρησή σας να παραδώσετε μαζί με το τετράδιο και τα φωτοαντίγραφα.
3. Να απαντήσετε **στο τετράδιό σας** σε όλα τα θέματα.
4. Να γράψετε τις απαντήσεις σας μόνο με μπλε ή μόνο με μαύρο στυλό.
5. Κάθε απάντηση τεκμηριωμένη είναι αποδεκτή.
6. Διάρκεια εξέτασης: τρεις (3) ώρες μετά τη διανομή των φωτοαντιγράφων.
7. Χρόνος δυνατής αποχώρησης: μετά τη 10.30΄ πρωινή.

## ΚΑΛΗ ΕΠΙΤΥΧΙΑ

## ΤΕΛΟΣ ΜΗΝΥΜΑΤΟΣ

Δ΄ ΤΑΞΗ

**ΑΠΟΛΥΤΗΡΙΕΣ ΕΞΕΤΑΣΕΙΣ**
**Δ′ ΤΑΞΗΣ**
**ΕΣΠΕΡΙΝΟΥ ΓΕΝΙΚΟΥ ΛΥΚΕΙΟΥ**
**ΔΕΥΤΕΡΑ 26 ΜΑΪΟΥ 2008**
**ΕΞΕΤΑΖΟΜΕΝΟ ΜΑΘΗΜΑ**
**ΘΕΩΡΗΤΙΚΗΣ ΚΑΤΕΥΘΥΝΣΗΣ:**
**ΑΡΧΑΙΑ ΕΛΛΗΝΙΚΑ**
**ΣΥΝΟΛΟ ΣΕΛΙΔΩΝ: ΕΞΙ (6)**

## ΔΙΔΑΓΜΕΝΟ ΚΕΙΜΕΝΟ
**Πλάτωνος, *Πρωταγόρας* 322a3-322d5**

Ἐπειδὴ δὲ ὁ ἄνθρωπος θείας μετέσχε μοίρας, πρῶτον μὲν διὰ τὴν τοῦ θεοῦ συγγένειαν ζῴων μόνον θεοὺς ἐνόμισεν, καὶ ἐπεχείρει βωμούς τε ἱδρύεσθαι καὶ ἀγάλματα θεῶν· ἔπειτα φωνὴν καὶ ὀνόματα ταχὺ διηρθρώσατο τῇ τέχνῃ, καὶ οἰκήσεις καὶ ἐσθῆτας καὶ ὑποδέσεις καὶ στρωμνὰς καὶ τὰς ἐκ γῆς τροφὰς ηὕρετο. Οὕτω δὴ παρεσκευασμένοι κατ᾽ ἀρχὰς ἄνθρωποι ᾤκουν σποράδην, πόλεις δὲ οὐκ ἦσαν· ἀπώλλυντο οὖν ὑπὸ τῶν θηρίων διὰ τὸ πανταχῇ αὐτῶν ἀσθενέστεροι εἶναι, καὶ ἡ δημιουργικὴ τέχνη αὐτοῖς πρὸς μὲν τροφὴν ἱκανὴ βοηθὸς ἦν, πρὸς δὲ τὸν τῶν θηρίων πόλεμον ἐνδεής –πολιτικὴν γὰρ τέχνην οὔπω εἶχον, ἧς μέρος πολεμική– ἐζήτουν δὴ ἁθροίζεσθαι καὶ σῴζεσθαι κτίζοντες πόλεις· ὅτ᾽ οὖν ἁθροισθεῖεν, ἠδίκουν ἀλλήλους ἅτε οὐκ ἔχοντες τὴν πολιτικὴν τέχνην, ὥστε πάλιν σκεδαννύμενοι διεφθείροντο. Ζεὺς οὖν δείσας περὶ τῷ γένει ἡμῶν μὴ ἀπόλοιτο πᾶν, Ἑρμῆν πέμπει ἄγοντα εἰς ἀνθρώπους αἰδῶ τε καὶ δίκην, ἵν᾽ εἶεν πόλεων κόσμοι τε καὶ δεσμοὶ φιλίας συναγωγοί. Ἐρωτᾷ οὖν Ἑρμῆς Δία τίνα οὖν τρόπον δοίη δίκην καὶ αἰδῶ ἀνθρώποις· “Πότερον ὡς αἱ τέχναι νενέμηνται, οὕτω καὶ ταύτας νείμω; Νενέμηνται δὲ ὧδε· εἷς ἔχων ἰατρικὴν πολλοῖς ἱκανὸς ἰδιώταις, καὶ οἱ ἄλλοι δημιουργοί· καὶ δίκην δὴ καὶ αἰδῶ οὕτω θῶ ἐν τοῖς ἀνθρώποις, ἢ ἐπὶ πάντας νείμω;” “Ἐπὶ πάντας,” ἔφη ὁ Ζεύς, “καὶ πάντες μετεχόντων· οὐ γὰρ ἂν γένοιντο

πόλεις, εἰ ὀλίγοι αὐτῶν μετέχοιεν ὥσπερ ἄλλων τεχνῶν· καὶ νόμον γε θὲς παρ' ἐμοῦ τὸν μὴ δυνάμενον αἰδοῦς καὶ δίκης μετέχειν κτείνειν ὡς νόσον πόλεως."

**Α.** Από το παραπάνω κείμενο να μεταφράσετε στο τετράδιό σας το απόσπασμα: «***ὅτ' οὖν ἀθροισθεῖεν ... ὡς νόσον πόλεως***».

***Μονάδες 10***

**Β.** Να απαντήσετε στα παρακάτω:

**Β.1.** Σύμφωνα με τον μύθο του ***Πρωταγόρα*** ποιο στοιχείο έδωσε αρχικά στον άνθρωπο τη δυνατότητα να δημιουργήσει πολιτισμό και ποια είναι τα πρώτα στάδια της εξέλιξής του;

***Μονάδες 10***

**Β.2.** ***«καὶ ἡ δημιουργικὴ τέχνη αὐτοῖς πρὸς μὲν τροφὴν ἱκανὴ βοηθὸς ἦν, πρὸς δὲ τὸν τῶν θηρίων πόλεμον ἐνδεής»***:
να προσδιορίσετε το περιεχόμενο της «***δημιουργικῆς τέχνης***» και να εξηγήσετε γιατί χαρακτηρίζεται ***«ἐνδεής»*** (για την απάντησή σας να λάβετε υπόψη το κείμενο μέχρι τη λέξη «***διεφθείροντο***»).

***Μονάδες 10***

**Β.3.** Αφού μελετήσετε το παρακάτω μεταφρασμένο κείμενο σε σχέση με το απόσπασμα από το πρωτότυπο ***«καὶ δίκην δὴ καὶ αἰδῶ οὕτω θῶ ἐν τοῖς ἀνθρώποις, ἢ ἐπὶ πάντας νείμω;" "Ἐπὶ πάντας," ἔφη ὁ Ζεύς, "καὶ πάντες μετεχόντων· οὐ γὰρ ἂν γένοιντο πόλεις, εἰ ὀλίγοι αὐτῶν μετέχοιεν»***, να καταγράψετε τις απόψεις του Πρωταγόρα σχετικά με τις προϋποθέσεις για την ύπαρξη πόλεως.

## ΜΕΤΑΦΡΑΣΜΕΝΟ ΚΕΙΜΕΝΟ

Σκέψου λοιπόν, τι από τα δύο συμβαίνει: υπάρχει ένα πράγμα στο οποίο είναι αναγκαίο να μετέχουν όλοι οι πολίτες, προκειμένου να είναι δυνατή η ύπαρξη πόλεως, ή δεν υπάρχει; Έτσι μόνο μπορεί να λυθεί η απορία που έχεις. Διότι, εάν μεν υπάρχει αυτό το ένα πράγμα και εάν αυτό το πράγμα δεν είναι ούτε η οικοδομική ούτε η μεταλλουργία ούτε η κεραμική, αλλά η *δικαιοσύνη* και η *σωφροσύνη* και το *όσιον* (και αυτά τα ονομάζω όλα μαζί *ἀνδρὸς ἀρετήν)*· εάν υπάρχει λοιπόν αυτό το πράγμα στο οποίο πρέπει να μετέχουν όλοι και σύμφωνα με το οποίο πρέπει να ενεργεί κάθε άνδρας ξεχωριστά σε περίπτωση που θέλει να μάθει ή να πράξει κάτι, και σε καμιά περίπτωση χωρίς αυτό· και εάν, σε περίπτωση που κάποιος δεν μετέχει σ’ αυτό, είτε παιδί είναι, είτε άνδρας είτε γυναίκα, πρέπει να τον διδάσκουμε και να τον τιμωρούμε, μέχρι που, με την τιμωρία, να βελτιωθεί· και εάν, σε διαφορετική περίπτωση, πρέπει να εκδιώκουμε από την πόλη ή να σκοτώνουμε ως ανίατο όποιον δεν υπακούει σε αυτό το πράγμα ακόμα και μετά τη διδασκαλία, ακόμα και μετά την τιμωρία· εάν λοιπόν έτσι έχουν τα πράγματα, και εάν, παρόλο που αυτή είναι η φύση των πραγμάτων, οι αγαθοί άνδρες, ενώ μορφώνουν τους γιους τους σε όλα τα άλλα, αυτό δεν τους το διδάσκουν, τότε σκέψου τι περίεργα πλάσματα είναι αυτοί οι αγαθοί άνδρες!

Πλάτωνος, *Πρωταγόρας* 324d7-325b4

***Μονάδες 10***

**Β.4.** Ποια είναι τα θέματα του πλατωνικού διαλόγου ***Πρωταγόρας*** και ποια τα σημεία αντιπαράθεσης των δύο βασικών συνομιλητών μέσα στο έργο;

***Μονάδες 10***

**Β.5.** Να γράψετε στο τετράδιό σας δύο ετυμολογικά συγγενείς λέξεις της αρχαίας ή της νέας ελληνικής, απλές ή σύνθετες, για καθεμιά από τις παρακάτω λέξεις του κειμένου:

***μετέσχε, διηρθρώσατο, ᾤκουν, γένει, κόσμοι.***

***Μονάδες 10***

## Γ. ΑΔΙΔΑΚΤΟ ΚΕΙΜΕΝΟ

### Ἰσοκράτους, *Φίλιππος 111-112*

Ἐκεῖνος γὰρ [δηλ. ο Ηρακλής] ὁρῶν τὴν Ἑλλάδα πολέμων καὶ στάσεων καὶ πολλῶν ἄλλων κακῶν μεστὴν οὖσαν, παύσας ταῦτα καὶ διαλλάξας τὰς πόλεις πρὸς ἀλλήλας ὑπέδειξε τοῖς ἐπιγιγνομένοις, μεθ' ὧν χρὴ καὶ πρὸς οὓς δεῖ τοὺς πολέμους ἐκφέρειν. Ποιησάμενος γὰρ στρατείαν ἐπὶ Τροίαν, ἥπερ εἶχε τότε μεγίστην δύναμιν τῶν περὶ τὴν Ἀσίαν, τοσοῦτον διήνεγκε τῇ στρατηγίᾳ τῶν πρὸς τὴν αὐτὴν ταύτην ὕστερον πολεμησάντων, ὅσον οἱ μὲν μετὰ τῆς τῶν Ἑλλήνων δυνάμεως ἐν ἔτεσι δέκα μόλις αὐτὴν ἐξεπολιόρκησαν, ὁ δ' ἐν ἡμέραις ἐλάττοσιν [...] ῥᾳδίως αὐτὴν κατὰ κράτος εἷλεν.

---

***διαλλάττω*** = συμφιλιώνω

***οἱ ἐπιγιγνόμενοι*** = οι μεταγενέστεροι

**Γ.1.** Να μεταφράσετε στο τετράδιό σας το παραπάνω κείμενο.

***Μονάδες 20***

**Γ.2.** Να γράψετε στο τετράδιό σας τον τύπο που ζητείται για καθεμιά από τις παρακάτω λέξεις:

| | |
|---|---|
| ***ὁρῶν:*** | το α΄ πληθυντικό πρόσωπο οριστικής αορίστου β΄ στην ίδια φωνή. |
| ***στάσεων:*** | τη δοτική πληθυντικού. |
| ***πολλῶν:*** | τη γενική πληθυντικού στον συγκριτικό βαθμό του ίδιου γένους. |
| ***οὖσαν:*** | τη δοτική ενικού του αρσενικού γένους. |
| ***ταῦτα:*** | τη γενική πληθυντικού του ίδιου γένους. |
| ***ὑπέδειξε:*** | το γ΄ πρόσωπο πληθυντικού αριθμού οριστικής ενεστώτα στην ίδια φωνή. |
| ***ὤν:*** | την αιτιατική πληθυντικού του θηλυκού γένους. |
| ***μεγίστην:*** | τη γενική ενικού στον θετικό βαθμό του ίδιου γένους. |
| ***διήνεγκε:*** | το απαρέμφατο του ενεστώτα στην ίδια φωνή. |
| ***ἔτεσι:*** | τη δοτική του ενικού αριθμού. |

***Μονάδες 10***

**Γ.3. α.** Να χαρακτηρίσετε πλήρως τη συντακτική λειτουργία των παρακάτω όρων:
***πολέμων, οὖσαν, τοῖς ἐπιγιγνομένοις, ἐκφέρειν, ἐπὶ Τροίαν, τῇ στρατηγίᾳ.***

***Μονάδες 6***

**β.** Να γράψετε τις προτάσεις στις οποίες ανήκουν τα παρακάτω ρήματα και να τις αναγνωρίσετε ως προς το είδος τους:
***δεῖ, εἶχε.***

***Μονάδες 4***

Δ΄ ΤΑΞΗ

## ΟΔΗΓΙΕΣ ΠΡΟΣ ΤΟΥΣ ΥΠΟΨΗΦΙΟΥΣ

1. Στο τετράδιο να γράψετε μόνο τα προκαταρκτικά (ημερομηνία, κατεύθυνση, εξεταζόμενο μάθημα). **Δεν θα αντιγράψετε** τα θέματα στο τετράδιο.
2. Να γράψετε το ονοματεπώνυμό σας στο πάνω μέρος των φωτοαντιγράφων, αμέσως μόλις σας παραδοθούν. **Δεν επιτρέπεται να γράψετε οποιαδήποτε άλλη σημείωση**.

   Κατά την αποχώρησή σας να παραδώσετε μαζί με το τετράδιο και τα φωτοαντίγραφα.
3. Να απαντήσετε **στο τετράδιό σας σε όλα τα θέματα.**
4. Να γράψετε τις απαντήσεις σας μόνο με μπλε ή μόνο με μαύρο στυλό.
5. Κάθε απάντηση τεκμηριωμένη είναι αποδεκτή.
6. Διάρκεια εξέτασης: τρεις (3) ώρες μετά τη διανομή των φωτοαντιγράφων.
7. Ώρα δυνατής αποχώρησης η 8.30΄ απογευματινή.

**ΣΑΣ ΕΥΧΟΜΑΣΤΕ ΕΠΙΤΥΧΙΑ**

**ΤΕΛΟΣ ΜΗΝΥΜΑΤΟΣ**

**ΕΠΑΝΑΛΗΠΤΙΚΕΣ ΑΠΟΛΥΤΗΡΙΕΣ ΕΞΕΤΑΣΕΙΣ**
**Γ΄ ΤΑΞΗΣ ΗΜΕΡΗΣΙΟΥ ΓΕΝΙΚΟΥ ΛΥΚΕΙΟΥ**
**ΔΕΥΤΕΡΑ 7 ΙΟΥΛΙΟΥ 2008**
**ΕΞΕΤΑΖΟΜΕΝΟ ΜΑΘΗΜΑ:**
**ΑΡΧΑΙΑ ΕΛΛΗΝΙΚΑ ΘΕΩΡΗΤΙΚΗΣ ΚΑΤΕΥΘΥΝΣΗΣ**
**ΣΥΝΟΛΟ ΣΕΛΙΔΩΝ: ΤΕΣΣΕΡΙΣ (4)**

## Διδαγμένο κείμενο
## Πλάτωνος *Πολιτεία* 514Α-515Α

Μετὰ ταῦτα δή, εἶπον, ἀπείκασον τοιούτῳ πάθει τὴν ἡμετέραν φύσιν παιδείας τε πέρι καὶ ἀπαιδευσίας. Ἰδὲ γὰρ ἀνθρώπους οἷον ἐν καταγείῳ οἰκήσει σπηλαιώδει, ἀναπεπταμένην πρὸς τὸ φῶς τὴν εἴσοδον ἐχούσῃ μακρὰν παρὰ πᾶν τὸ σπήλαιον, ἐν ταύτῃ ἐκ παίδων ὄντας ἐν δεσμοῖς καὶ τὰ σκέλη καὶ τοὺς αὐχένας, ὥστε μένειν τε αὐτοὺς εἴς τε τὸ πρόσθεν μόνον ὁρᾶν, κύκλῳ δὲ τὰς κεφαλὰς ὑπὸ τοῦ δεσμοῦ ἀδυνάτους περιάγειν, φῶς δὲ αὐτοῖς πυρὸς ἄνωθεν καὶ πόρρωθεν καόμενον ὄπισθεν αὐτῶν, μεταξὺ δὲ τοῦ πυρὸς καὶ τῶν δεσμωτῶν ἐπάνω ὁδόν, παρ’ ἣν ἰδὲ τειχίον παρῳκοδομημένον, ὥσπερ τοῖς θαυματοποιοῖς πρὸ τῶν ἀνθρώπων πρόκειται τὰ παραφράγματα, ὑπὲρ ὧν τὰ θαύματα δεικνύασιν.

Ὁρῶ, ἔφη.

Ὅρα τοίνυν παρὰ τοῦτο τὸ τειχίον φέροντας ἀνθρώπους σκεύη τε παντοδαπὰ ὑπερέχοντα τοῦ τειχίου καὶ ἀνδριάντας καὶ ἄλλα ζῷα λίθινά τε καὶ ξύλινα καὶ παντοῖα εἰργασμένα, οἷον εἰκὸς τοὺς μὲν φθεγγομένους, τοὺς δὲ σιγῶντας τῶν παραφερόντων.

Ἄτοπον, ἔφη, λέγεις εἰκόνα καὶ δεσμώτας ἀτόπους.

Ὁμοίους ἡμῖν, ἦν δ’ ἐγώ.

**Α.** Από το κείμενο που σας δίνεται να γράψετε στο τετράδιό σας τη μετάφραση του αποσπάσματος: **«Μετὰ ταῦτα δὴ … Ὁρῶ, ἔφη.»**

***Μονάδες 10***

**Β.** *Να απαντήσετε στα παρακάτω*:

**Β1.** Να εντοπίσετε με αναφορές στο κείμενο και να σχολιάσετε τα στοιχεία του σπηλαίου, τα οποία δηλώνουν τον εγκλεισμό των δεσμωτών.

***Μονάδες 15***

**Β2.** **θαυματοποιοῖς, ἀνδριάντας, δεσμώτας ἀτόπους**: να σχολιάσετε το περιεχόμενο των παραπάνω όρων.

***Μονάδες 15***

**Β3.** Ποιος είναι ο τόπος, ποιο το θέμα του διαλόγου «*Πολιτεία ἢ περὶ δικαίου*» και ποια τα διαλεγόμενα πρόσωπα;

***Μονάδες 10***

**Β4.** Να γράψετε δύο ομόρριζες λέξεις της αρχαίας ή της νέας ελληνικής γλώσσας, απλές ή σύνθετες, για καθεμιά από τις παρακάτω λέξεις του κειμένου: **ἀπείκασον, πάθει, ἐχούσῃ, ὁρᾶν, φέροντας.**

***Μονάδες 10***

## Αδίδακτο κείμενο
## Δημοσθένους *Κατ' Ἀριστοκράτους* 209-210

Νῦν δ' οἱ μὲν τὰ κοινὰ διοικοῦντες ἐκ πτωχῶν εὔποροι καὶ πολλοῦ χρόνου τροφὴν ἄφθονόν εἰσιν ἡτοιμασμένοι· ὑμῖν δ' οὐδὲ μιᾶς ἡμέρας ἐφόδι' ἐστὶν ἐν τῷ κοινῷ, ἀλλ' ἅμα δεῖ τι ποιεῖν, καὶ πόθεν οὐκ ἔχετε. Τότε μὲν γὰρ ὁ δῆμος ἦν δεσπότης τῶν πολιτευομένων, νῦν δ' ὑπηρέτης. Αἴτιοι δ' οἱ τὰ τοιαῦτα γράφοντες, καὶ συνεθίζοντες ὑμᾶς ὑμῶν μὲν αὐτῶν καταφρονεῖν, ἕνα δ' ἢ δύο θαυμάζειν ἀνθρώπους. Εἶθ' οὗτοι κληρονομοῦσι τῆς ὑμετέρας δόξης καὶ τῶν ἀγαθῶν, ὑμεῖς δ' οὐδ' ὁτιοῦν ἀπολαύετε, ἀλλὰ μάρτυρές ἐστε τῶν ἑτέρων ἀγαθῶν, οὐδενὸς ἄλλου μετέχοντες ἢ τοῦ ἐξαπατᾶσθαι.

**Γ.** Να γράψετε στο τετράδιό σας τη μετάφραση του κειμένου.

***Μονάδες 20***

**Γ1.α.** Να γράψετε τους ζητούμενους τύπους για καθεμιά από τις παρακάτω λέξεις του κειμένου:

| | | |
|---|---|---|
| **διοικοῦντες** | : | το πρώτο ενικό πρόσωπο παρατατικού στην ίδια φωνή. |
| **ἡτοιμασμένοι** | : | το τρίτο ενικό πρόσωπο υπερσυντελίκου στην ίδια φωνή. |
| **γράφοντες** | : | το δεύτερο πληθυντικό πρόσωπο υποτακτικής παθητικού αορίστου β΄. |
| **συνεθίζοντες** | : | το τρίτο πληθυντικό πρόσωπο οριστικής μέλλοντα στην ίδια φωνή. |
| **μετέχοντες** | : | το δεύτερο ενικό πρόσωπο προστακτικής αορίστου β΄ στην ίδια φωνή. |

***Μονάδες 5***

**Γ1.β.** Να γράψετε τους ζητούμενους τύπους για καθεμιά από τις παρακάτω λέξεις του κειμένου:

| | | |
|---|---|---|
| **δεσπότης** | : | την κλητική ενικού. |
| **ἄφθονον** | : | την αιτιατική πληθυντικού στο θηλυκό γένος. |
| **ἀγαθῶν** | : | το επίρρημα στον θετικό βαθμό. |
| **τι** | : | τη δοτική πληθυντικού του ιδίου γένους. |
| **τοιαῦτα** | : | τη γενική πληθυντικού του θηλυκού γένους. |

***Μονάδες 5***

**Γ2.α.** Να γίνει πλήρης συντακτική αναγνώριση των παρακάτω λέξεων:

**εὔποροι, ὑμῖν, ἡμέρας, καταφρονεῖν, ὁτιοῦν.**

***Μονάδες 5***

**Γ2.β.** **Τότε μὲν γὰρ … νῦν δ' ὑπηρέτης:** να μετατρέψετε την περίοδο σε πλάγιο λόγο χρησιμοποιώντας απαρεμφατική σύνταξη με εξάρτηση από την πρόταση «*Οὗτοι εἶπον*».

***Μονάδες 5***

## ΟΔΗΓΙΕΣ ΓΙΑ ΤΟΥΣ ΕΞΕΤΑΖΟΜΕΝΟΥΣ

1. Στο τετράδιο να γράψετε μόνο τα προκαταρκτικά (ημερομηνία, εξεταζόμενο μάθημα, κατεύθυνση). **Να μην αντιγράψετε** τα θέματα στο τετράδιο.
2. Να γράψετε το ονοματεπώνυμό σας στο πάνω μέρος των φωτοαντιγράφων αμέσως μόλις σας παραδοθούν. **Δεν επιτρέπεται να γράψετε** καμιά άλλη σημείωση. Κατά την αποχώρησή σας να παραδώσετε μαζί με το τετράδιο και τα φωτοαντίγραφα.
3. Να απαντήσετε **στο τετράδιό σας** σε όλα τα θέματα.
4. Να γράψετε τις απαντήσεις σας μόνο με μπλε ή μόνο με μαύρο στυλό.
5. Κάθε απάντηση τεκμηριωμένη είναι αποδεκτή.
6. Διάρκεια εξέτασης: τρεις (3) ώρες μετά τη διανομή των φωτοαντιγράφων.
7. Χρόνος δυνατής αποχώρησης: μετά τη 10.00΄ πρωινή.

**ΚΑΛΗ ΕΠΙΤΥΧΙΑ**

**ΤΕΛΟΣ ΜΗΝΥΜΑΤΟΣ**

# ΕΠΑΝΑΛΗΠΤΙΚΕΣ ΑΠΟΛΥΤΗΡΙΕΣ ΕΞΕΤΑΣΕΙΣ Δ′ ΤΑΞΗΣ ΕΣΠΕΡΙΝΟΥ ΓΕΝΙΚΟΥ ΛΥΚΕΙΟΥ

**ΤΕΤΑΡΤΗ 2 ΙΟΥΛΙΟΥ 2008**

**ΕΞΕΤΑΖΟΜΕΝΟ ΜΑΘΗΜΑ ΘΕΩΡΗΤΙΚΗΣ ΚΑΤΕΥΘΥΝΣΗΣ: ΑΡΧΑΙΑ ΕΛΛΗΝΙΚΑ**

**ΣΥΝΟΛΟ ΣΕΛΙΔΩΝ: ΠΕΝΤΕ (5)**

## ΔΙΔΑΓΜΕΝΟ ΚΕΙΜΕΝΟ
## Πλάτων, *Πολιτεία* 615C-616A
## Αρδιαίος ο τύραννος

Ἔφη γὰρ δὴ παραγενέσθαι ἐρωτωμένῳ ἑτέρῳ ὑπὸ ἑτέρου ὅπου εἴη Ἀρδιαῖος ὁ μέγας. Ὁ δὲ Ἀρδιαῖος οὗτος τῆς Παμφυλίας ἔν τινι πόλει τύραννος ἐγεγόνει, ἤδη χιλιοστὸν ἔτος εἰς ἐκεῖνον τὸν χρόνον, γέροντά τε πατέρα ἀποκτείνας καὶ πρεσβύτερον ἀδελφόν, καὶ ἄλλα δὴ πολλά τε καὶ ἀνόσια εἰργασμένος, ὡς ἐλέγετο. Ἔφη οὖν τὸν ἐρωτώμενον εἰπεῖν, «Οὐχ ἥκει,» φάναι, «οὐδ' ἂν ἥξει δεῦρο. Ἐθεασάμεθα γὰρ οὖν δὴ καὶ τοῦτο τῶν δεινῶν θεαμάτων· ἐπειδὴ ἐγγὺς τοῦ στομίου ἦμεν μέλλοντες ἀνιέναι καὶ τἆλλα πάντα πεπονθότες, ἐκεῖνόν τε κατείδομεν ἐξαίφνης καὶ ἄλλους –σχεδόν τι αὐτῶν τοὺς πλείστους τυράννους· ἦσαν δὲ καὶ ἰδιῶταί τινες τῶν μεγάλα ἡμαρτηκότων– οὓς οἰομένους ἤδη ἀναβήσεσθαι οὐκ ἐδέχετο τὸ στόμιον, ἀλλ' ἐμυκᾶτο ὁπότε τις τῶν οὕτως ἀνιάτως ἐχόντων εἰς πονηρίαν ἢ μὴ ἱκανῶς δεδωκὼς δίκην ἐπιχειροῖ ἀνιέναι. Ἐνταῦθα δὴ ἄνδρες, ἔφη, ἄγριοι, διάπυροι ἰδεῖν, παρεστῶτες καὶ καταμανθάνοντες τὸ φθέγμα, τοὺς μὲν διαλαβόντες ἦγον, τὸν δὲ Ἀρδιαῖον καὶ ἄλλους συμποδίσαντες χεῖράς τε καὶ πόδας καὶ κεφαλήν, καταβαλόντες καὶ ἐκδείραντες, εἷλκον παρὰ τὴν ὁδὸν ἐκτὸς ἐπ' ἀσπαλάθων κνάμπτοντες, καὶ τοῖς ἀεὶ παριοῦσι σημαίνοντες ὧν ἕνεκά τε καὶ ὅτι εἰς τὸν Τάρταρον ἐμπεσούμενοι ἄγοιντο.»

**Α.** Από το παραπάνω κείμενο να μεταφράσετε στο τετράδιό σας το απόσπασμα: «***Ἐθεασάμεθα γὰρ οὖν ... ἐμπεσούμενοι ἄγοιντο.***»

***Μονάδες 10***

**Β.1.** Πώς δικαιολογείται η βαρύτατη ποινή που επιβλήθηκε στον Αρδιαίο και σε τι αποσκοπεί αυτή; Να τεκμηριώσετε την απάντησή σας με αναφορές στο κείμενο.

***Μονάδες 15***

**Β.2.** «***Ἔφη γὰρ δὴ ... ἐπιχειροῖ ἀνιέναι***»:
Να επισημάνετε τα εκφραστικά μέσα στα οποία στηρίζεται η αφήγηση στο συγκεκριμένο χωρίο.

***Μονάδες 15***

**Β.3.** Ποια είναι τα στάδια αγωγής των φυλάκων σύμφωνα με τον Πλάτωνα;

***Μονάδες 10***

**Β.4.** Να γράψετε στο τετράδιό σας δύο ετυμολογικά συγγενείς λέξεις της αρχαίας ή της νέας ελληνικής, απλές ή σύνθετες, για καθεμιά από τις παρακάτω λέξεις του κειμένου:

***ἐγεγόνει***, ***εἰπεῖν***, ***ἐθεασάμεθα***, ***πεπονθότες***, ***ἀναβήσεσθαι.***

***Μονάδες 10***

## Γ. ΑΔΙΔΑΚΤΟ ΚΕΙΜΕΝΟ
## Ισοκράτης, *Νικοκλῆς* §§ 5-7

Τοῖς μὲν γὰρ ἄλλοις οἷς ἔχομεν οὐδὲν τῶν ζῴων διαφέρομεν, ἀλλὰ πολλῶν καὶ τῷ τάχει καὶ τῇ ῥώμῃ καὶ ταῖς ἄλλαις εὐπορίαις καταδεέστεροι τυγχάνομεν ὄντες· ἐγγενομένου δ' ἡμῖν τοῦ πείθειν ἀλλήλους καὶ δηλοῦν πρὸς ἡμᾶς αὐτοὺς, περὶ ὧν ἂν βουληθῶμεν, οὐ μόνον τοῦ θηριωδῶς ζῆν ἀπηλλάγημεν ἀλλὰ καὶ συνελθόντες πόλεις ᾠκίσαμεν καὶ νόμους ἐθέμεθα καὶ τέχνας εὕρομεν, καὶ σχεδὸν ἅπαντα τὰ δι' ἡμῶν μεμηχανημένα λόγος ἡμῖν ἐστὶν ὁ συγκατασκευάσας. οὗτος γὰρ περὶ τῶν δικαίων καὶ τῶν ἀδίκων καὶ τῶν καλῶν καὶ τῶν αἰσχρῶν ἐνομοθέτησεν.

---

***εὐπορία*** = ικανότητα

***μηχανῶμαι*** = επινοώ

**Γ.1.** Να μεταφράσετε στο τετράδιό σας το παραπάνω κείμενο.

***Μονάδες 20***

**Γ.2.** Να γράψετε στο τετράδιό σας τον τύπο που ζητείται για καθεμιά από τις παρακάτω λέξεις:

***οἷς:*** την ονομαστική πληθυντικού αριθμού του θηλυκού γένους.

***εὐπορίαις:*** τη γενική πληθυντικού αριθμού.

***ὄντες:*** τη δοτική ενικού αριθμού του ίδιου γένους.

***ἡμῖν:*** την αιτιατική πληθυντικού αριθμού του β΄ προσώπου.

***πείθειν:*** το γ΄ πρόσωπο ενικού αριθμού ευκτικής μέλλοντα στην ίδια φωνή.

***βουληθῶμεν:*** το απαρέμφατο ενεστώτα.

***συνελθόντες:*** το β΄ πρόσωπο ενικού αριθμού προστακτικής στον ίδιο χρόνο και στην ίδια φωνή.

***ἅπαντα:*** τη γενική ενικού αριθμού του θηλυκού γένους.

***οὗτος:*** τη δοτική πληθυντικού αριθμού του ίδιου γένους.

***αἰσχρῶν:*** την αιτιατική πληθυντικού αριθμού του θηλυκού γένους στον υπερθετικό βαθμό.

***Μονάδες 10***

**Γ.3. α.** Να χαρακτηρίσετε πλήρως τη συντακτική λειτουργία των παρακάτω όρων:
***τῶν ζῴων, τῇ ῥώμῃ, ταῖς ἄλλαις, καταδεέστεροι, ὄντες, θηριωδῶς.***

***Μονάδες 6***

**β.** Να γράψετε τις προτάσεις στις οποίες ανήκουν τα παρακάτω ρήματα και να τις αναγνωρίσετε ως προς το είδος τους:
***ἔχομεν, διαφέρομεν.***

***Μονάδες 4***

## ΟΔΗΓΙΕΣ ΠΡΟΣ ΤΟΥΣ ΥΠΟΨΗΦΙΟΥΣ

1. Στο τετράδιο να γράψετε μόνο τα προκαταρκτικά (ημερομηνία, κατεύθυνση, εξεταζόμενο μάθημα). **Δεν θα αντιγράψετε** τα θέματα στο τετράδιο.
2. Να γράψετε το ονοματεπώνυμό σας στο πάνω μέρος των φωτοαντιγράφων, αμέσως μόλις σας παραδοθούν. **Δεν επιτρέπεται να γράψετε οποιαδήποτε άλλη σημείωση**.

   Κατά την αποχώρησή σας να παραδώσετε μαζί με το τετράδιο και τα φωτοαντίγραφα.
3. Να απαντήσετε **στο τετράδιό σας σε όλα τα θέματα.**
4. Να γράψετε τις απαντήσεις σας μόνο με μπλε ή μόνο με μαύρο στυλό.
5. Κάθε απάντηση τεκμηριωμένη είναι αποδεκτή.
6. Διάρκεια εξέτασης: τρεις (3) ώρες μετά τη διανομή των φωτοαντιγράφων.

7. Χρόνος δυνατής αποχώρησης: μία ώρα μετά τη διανομή των φωτοαντιγράφων.

**ΣΑΣ ΕΥΧΟΜΑΣΤΕ ΕΠΙΤΥΧΙΑ**

**ΤΕΛΟΣ ΜΗΝΥΜΑΤΟΣ**

**ΕΙΣΑΓΩΓΙΚΕΣ ΕΞΕΤΑΣΕΙΣ**
**ΤΕΚΝΩΝ ΕΛΛΗΝΩΝ ΤΟΥ ΕΞΩΤΕΡΙΚΟΥ**
**ΚΑΙ ΤΕΚΝΩΝ ΕΛΛΗΝΩΝ ΥΠΑΛΛΗΛΩΝ ΣΤΟ ΕΞΩΤΕΡΙΚΟ**
**ΤΕΤΑΡΤΗ 10 ΣΕΠΤΕΜΒΡΙΟΥ 2008**
**ΕΞΕΤΑΖΟΜΕΝΟ ΜΑΘΗΜΑ**
**ΘΕΩΡΗΤΙΚΗΣ ΚΑΤΕΥΘΥΝΣΗΣ: ΑΡΧΑΙΑ ΕΛΛΗΝΙΚΑ**
**ΣΥΝΟΛΟ ΣΕΛΙΔΩΝ: ΠΕΝΤΕ (5)**

## 1. Διδαγμένο κείμενο από το πρωτότυπο. Πλάτωνος *Πρωταγόρας*, (324 A-C).

Ἔνθα δὴ πᾶς παντὶ θυμοῦται καὶ νουθετεῖ, δῆλον ὅτι ὡς ἐξ ἐπιμελείας καὶ μαθήσεως κτητῆς οὔσης. Εἰ γὰρ ἐθέλεις ἐννοῆσαι τὸ κολάζειν, ὦ Σώκρατες, τοὺς ἀδικοῦντας τί ποτε δύναται, αὐτό σε διδάξει ὅτι οἵ γε ἄνθρωποι ἡγοῦνται παρασκευαστὸν εἶναι ἀρετήν. Οὐδεὶς γὰρ κολάζει τοὺς ἀδικοῦντας πρὸς τούτῳ τὸν νοῦν ἔχων καὶ τούτου ἕνεκα, ὅτι ἠδίκησεν, ὅστις μὴ ὥσπερ θηρίον ἀλογίστως τιμωρεῖται· ὁ δὲ μετὰ λόγου ἐπιχειρῶν κολάζειν οὐ τοῦ παρεληλυθότος ἕνεκα ἀδικήματος τιμωρεῖται –οὐ γὰρ ἂν τό γε πραχθὲν ἀγένητον θείη– ἀλλὰ τοῦ μέλλοντος χάριν, ἵνα μὴ αὖθις ἀδικήσῃ μήτε αὐτὸς οὗτος μήτε ἄλλος ὁ τοῦτον ἰδὼν κολασθέντα. Καὶ τοιαύτην διάνοιαν ἔχων διανοεῖται παιδευτὴν εἶναι ἀρετήν· ἀποτροπῆς γοῦν ἕνεκα κολάζει. Ταύτην οὖν τὴν δόξαν πάντες ἔχουσιν ὅσοιπερ τιμωροῦνται καὶ ἰδίᾳ καὶ δημοσίᾳ. Τιμωροῦνται δὲ καὶ κολάζονται οἵ τε ἄλλοι ἄνθρωποι οὓς ἂν οἴωνται ἀδικεῖν, καὶ οὐχ ἥκιστα Ἀθηναῖοι οἱ σοὶ πολῖται· ὥστε κατὰ τοῦτον τὸν λόγον καὶ Ἀθηναῖοί εἰσι τῶν ἡγουμένων παρασκευαστὸν εἶναι καὶ διδακτὸν ἀρετήν. Ὡς μὲν οὖν εἰκότως ἀποδέχονται οἱ σοὶ πολῖται καὶ χαλκέως καὶ σκυτοτόμου συμβουλεύοντος τὰ πολιτικά, καὶ ὅτι διδακτὸν καὶ παρασκευαστὸν ἡγοῦνται ἀρετήν, ἀποδέδεικταί σοι, ὦ Σώκρατες, ἱκανῶς, ὥς γέ μοι φαίνεται.

**Να απαντήσετε στα παρακάτω :**

**Α)** Από το κείμενο, που σας δίνεται, να μεταφράσετε στη νέα ελληνική γλώσσα το απόσπασμα: **«Οὐδεὶς γὰρ κολάζει ... καὶ διδακτὸν ἀρετήν»**.

**Μονάδες 10**

**Β1)** Ποιος είναι ο σκοπός της τιμωρίας σύμφωνα με το κείμενο.

**Μονάδες 10**

**Β2)** Να αναφέρετε πώς συνδέεται η επιβολή της τιμωρίας με τη θέση του Πρωταγόρα για το «διδακτόν» της αρετής.

**Μονάδες 10**

**Β3)** Λαμβάνοντας υπόψη αφενός τη φράση του πρωτοτύπου κειμένου **«ἀποτροπῆς γοῦν ἕνεκα κολάζει»** και αφετέρου το μεταφρασμένο απόσπασμα **«Στην πραγματικότητα… να γίνει παρόμοιος.»** που ακολουθεί, να αναφέρετε τις παιδαγωγικές μεθόδους αγωγής των νέων.

**Πλάτωνος *Πρωταγόρας* (324C – 326A)**

Στην πραγματικότητα, αρχίζουν από την παιδική ηλικία να διδάσκουν και να νουθετούν, συνεχίζοντας για όλη τη ζωή. Αμέσως μόλις αρχίσει να καταλαβαίνει ένα παιδί τι του λένε, και η παραμάνα του και η μητέρα του και ο παιδαγωγός του και ο ίδιος ο πατέρας του αγωνίζονται γι’ αυτό το πράγμα, για το πώς δηλαδή θα βελτιωθεί το αγόρι, διδάσκοντάς το για κάθε του πράξη και για κάθε του λόγο και εξηγώντας του ότι αυτό είναι δίκαιο και το άλλο άδικο, και ότι αυτό είναι καλό και το άλλο αισχρό, και αυτό όσιο και εκείνο ανόσιο, και ότι αυτά πρέπει να τα κάνεις και αυτά να μην τα κάνεις. Κι όταν ακούει με τη θέλησή του, πάει καλά. Εάν όμως δεν υπακούει, τότε, με τις απειλές και τα χτυπήματα το «ισιώνουν», σαν δέντρο που λυγίζει και γέρνει. Κι ύστερα,

όταν το στέλνουν στους δασκάλους, δίνουν εντολή να επιμεληθεί ο δάσκαλος περισσότερο την *εὐκοσμία* των παιδιών, παρά τα γράμματα και τη μουσική. Και οι δάσκαλοι άλλωστε γι’ αυτό φροντίζουν κυρίως. Και μόλις τα αγόρια μάθουν τα γράμματα και είναι σε θέση στο εξής να καταλάβουν ένα γραπτό κείμενο, όπως μέχρι τώρα καταλάβαιναν τον προφορικό λόγο, τα βάζουν, καθισμένα στα θρανία τους, να διαβάζουν δυνατά τα ποιήματα των μεγάλων ποιητών και τα αναγκάζουν να μάθουν απέξω αυτά τα έργα, στα οποία υπάρχουν πολλές συμβουλές, αλλά και αναλύσεις για τα πράγματα, και *ἔπαινοι* και *ἐγκώμια* για τους αρχαίους ήρωες, προκειμένου το αγόρι να θελήσει να τους μιμηθεί και να έχει διάθεση να γίνει παρόμοιος. […]

**Μονάδες 10**

**Β4)** Τι γνωρίζετε για την ίδρυση της Ακαδημίας από τον Πλάτωνα.

**Μονάδες 10**

**Β5)** Να γράψετε δύο ομόρριζες λέξεις της νέας ελληνικής γλώσσας, απλές ή σύνθετες, για καθεμιά από τις παρακάτω λέξεις του κειμένου:
**κτητῆς, ἀγένητον, διανοεῖται, ἔχουσιν, φαίνεται.**

**Μονάδες 10**

## 2. Αδίδακτο κείμενο.
## Ξενοφῶντος, *Κύρου Παιδεία*, Ι, ΙΙΙ, 1 - 2

Κῦρος γὰρ μέχρι μὲν δώδεκα ἐτῶν ἢ ὀλίγῳ πλέον ταύτῃ τῇ παιδείᾳ ἐπαιδεύθη, καὶ πάντων τῶν ἡλίκων[1] διαφέρων ἐφαίνετο καὶ εἰς τὸ ταχὺ μανθάνειν ἃ δέοι καὶ εἰς τὸ καλῶς καὶ ἀνδρείως ἕκαστα ποιεῖν. Ἐκ δὲ τούτου τοῦ χρόνου μετεπέμψατο[2] Ἀστυάγης τὴν ἑαυτοῦ θυγατέρα καὶ τὸν παῖδα αὐτῆς· ἰδεῖν γὰρ ἐπεθύμει, ὅτι ἤκουεν αὐτὸν καλὸν καὶ ἀγαθὸν εἶναι. Ἔρχεται δὲ αὐτή τε ἡ Μανδάνη πρὸς τὸν πατέρα καὶ τὸν Κῦρον τὸν υἱὸν ἔχουσα. Ὡς δὲ ἀφίκετο

τάχιστα καὶ ἔγνω ὁ Κῦρος τὸν Ἀστυάγην τῆς μητρὸς πατέρα ὄντα, εὐθὺς οἷα δὴ παῖς φύσει φιλόστοργος ὢν ἠσπάζετό τε αὐτὸν.

---

*1 ἡλίκος-η-ον:* συνομήλικος
*2 μεταπέμπομαι:* στέλνω και προσκαλώ

**Να απαντήσετε στα παρακάτω :**

**Γ1)** Να μεταφράσετε στη νέα ελληνική γλώσσα το παραπάνω κείμενο.

**Μονάδες 20**

**Γ2α)** Να γράψετε τη δοτική ενικού των παρακάτω λέξεων:

**πάντων, τούτου, θυγατέρα, παῖδα, ὄντα.**

**Μονάδες 5**

**Γ2β)** Να γράψετε τον ζητούμενο τύπο για κάθε έναν από τους παρακάτω ρηματικούς τύπους του κειμένου:

**ἐπαιδεύθη:** το απαρέμφατο του ίδιου χρόνου στην ίδια φωνή.
**ποιεῖν:** το γ΄ ενικό πρόσωπο του Παρατατικού στην ίδια φωνή.
**ἰδεῖν:** το β΄ ενικό πρόσωπο Προστακτικής του ίδιου χρόνου και στην ίδια φωνή.
**ἔχουσα:** το γ΄ πληθυντικό πρόσωπο Ευκτικής του ίδιου χρόνου και στην ίδια φωνή.
**ὤν:** το α΄ πληθυντικό πρόσωπο Οριστικής του ίδιου χρόνου.

**Μονάδες 5**

**Γ3)** Να γίνει πλήρης συντακτική αναγνώριση των παρακάτω λέξεων του κειμένου: **τῇ παιδείᾳ, διαφέρων, ἀνδρείως, αὐτῆς, ἰδεῖν**.

**Μονάδες 10**

## ΟΔΗΓΙΕΣ ΠΡΟΣ ΤΟΥΣ ΥΠΟΨΗΦΙΟΥΣ

1. Στο τετράδιο να γράψετε μόνον τα προκαταρκτικά (ημερομηνία, κατεύθυνση, εξεταζόμενο μάθημα). Να μη μεταφέρετε στο τετράδιο τα κείμενα και τις παρατηρήσεις.
2. Να γράψετε το ονοματεπώνυμό σας στο επάνω μέρος των φωτοαντιγράφων, αμέσως μόλις σας παραδοθούν.

   Δεν επιτρέπεται να γράψετε οποιαδήποτε άλλη σημείωση. Κατά την αποχώρησή σας, να παραδώσετε μαζί με το τετράδιο και τα φωτοαντίγραφα.
3. Να μεταφράσετε στο τετράδιό σας ό,τι σας ζητείται από το διδαγμένο κείμενο και ολόκληρο το αδίδακτο.
4. Να απαντήσετε σε όλα τα ζητούμενα.
5. Διάρκεια εξέτασης: τρεις (3) ώρες, μετά τη διανομή των φωτοαντιγράφων.
6. Χρόνος δυνατής αποχώρησης: μία (1) ώρα, μετά τη διανομή των φωτοαντιγράφων και όχι πριν την 17.00.

**ΕΥΧΟΜΑΣΤΕ ΕΠΙΤΥΧΙΑ**

**ΤΕΛΟΣ ΜΗΝΥΜΑΤΟΣ**